ΜϚʹ. (ΒΜ. μϛʹ.).

Πῶς οὐ μάχεται τὸ «ἐῤῥέθη τοῖς ἀρχαίοις ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος» 1) τῷ 2) «ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ, ἀλλ' ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιάν, στρέψον αὐτῷ καὶ τὴν ἄλλην 3) »;

Πρῶτον μέν, διότι ὁ εἰπὼν «οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι 4)», αὐτός ἐστιν ὁ ψῆφον ἑκατέραν ἐξενεγκών, οὐδεὶς δὲ ἄρα οὐδὲ τῶν τυχόντων, μήτι γε νομοθέτης, ἅμα τἀναντία λέγει ἑαυτῷ· οὐδ' ὁ λέγων μὴ 5) καταλύειν τὸν νόμον, οὐκ ἂν τὰς καταλυούσας αὐτὸν προεκόμιζε φωνάς, καὶ μάλιστα οὐκ ἐν ἄλλῳ καὶ ἐν ἄλλῳ χρόνῳ, οὐδ' ἐν ἑτέρᾳ φράσει καὶ ἑτέρᾳ, ἀλλ' ἐπὶ τῶν αὐτῶν ῥημάτων καὶ ἐφεξῆς. Οὐκοῦν οὐκ ἀντίκειται ταῦτα, οὐδὲ πολλοῦ δεῖ, ἀλλ' ἡ μὲν τῶν ἐντολῶν, λόγον ἔχουσα νομοθεσίας, ῥυθμίζει τε καὶ καταρτίζει τὸν κριτήν, ἀδέκαστον μὲν ἔχειν τὴν γνώμην, ἀδυσώπητον δὲ τὴν ψῆφον, ἰσόῤῥοπον δὲ παρέχειν τοῖς δικαζομένοις τὸν τῆς δίκης ὀφθαλμόν· ἡ δὲ λέγουσα μὴ ἀντιστῆναι τῷ πονηρῷ, ἐν ἴσῳ ἐστὶ τοῦ μὴ ἐπεξελθεῖν μηδ' ἀμύνασθαι κατὰ τὰ πονηρεύματα αὐτοῦ τὸν ἄρξαντα χειρῶν ἀδίκων, καὶ οὐκέτι αὐτὴ πρὸς τὸν κριτὴν ἀφορᾷ, ἀλλὰ τὸ ἠδικημένον πρόσωπον εἰς ἐπιείκειαν καὶ εὐλάβειαν παρακαλεῖ· τοῦτο γὰρ 6) καὶ τὸν ἠδικηκότα αἰσχύνει, καὶ μετάγει τῆς θρασύτητος καὶ ἀπονοίας ἐπὶ τὸ μεταμελούμενον καὶ κατηφές, (εἰ μή που θηρίον εἴη, μορφὴν ἀνθρώπου περιβαλλόμενον) καὶ τὸν ἠδικημένον τῷ τῆς πρᾳότητος καὶ φιλοσοφίας στεφάνῳ κοσμεῖ· καὶ γὰρ ἐξουσίαν 7) αὐτῷ δίδωσιν ὁ νόμος τὸν λελυπηκότα δίκην εἰσπράττεσθαι· ὁ δέ, τὴν ἐξουσίαν ἂν εἰς φιλανθρωπίαν τρέψῃ, καὶ τοῦ ὁμοφύλου λάβῃ ἔλεον, εἰς μόνον τὸν ἀρχηγὸν τῶν κακῶν καὶ τὸν ἀρχαῖον πολέμιον τοῦ γένους ἡμῶν ἀποτείνων τὸν δίκαιον θυμόν, οὗτός ἐστιν ὡς ἀληθῶς ὁ καὶ τῆς ἀνθρωπίνης φύσεως ἐξευγενίζων τὸ αὐτεξούσιον, καὶ τὸν κοινὸν δεσπότην τὰς ἀνθρωπίνας ὀφειλὰς ἔχων ἑαυτῷ 8) διαλύοντα· καὶ μὴν καὶ ἐναντίον εἴπερ ἦν, ἡ τοῦ προσώπου διαφορὰ ἱκανὴ τὴν ἐναντίωσιν διαλῦσαι 9)· οὐ γὰρ πρὸς ἄλλο καὶ ἄλλο 10) τοῦ ἐναντίου φύσις συμπλέκεσθαι, ἀλλὰ διὰ τῶν αὐτῶν, οἷς ἂν πρόεισιν ἡ μάχη, πρόεισιν. Ἔλαβες κράτος τὸν ἠδικηκότα νόμῳ κολάζειν, εἰ μὲν κολάσεις, ἄδηλον εἰ καὶ μὴ λαβών, τῇ τιμωρίᾳ τοῦ πλησίον ἐπεπήδησας, καὶ τῷ φθάσαι παθεῖν τοῦ μὴ ποιῆσαι, ἀλλὰ μὴ φιλανθρώπῳ γνώμῃ καὶ φιλαδέλφῳ τὴν πρᾶξιν ἐξήνεγκας· εἰ δὲ μὴ κολάσεις, στήλην ἔστησας ἀνεξάλειπτον καὶ φιλανθρωπίας καὶ πρᾳότητος, καὶ τῷ βίῳ παράδειγμα καταλέλοιπας φιλανθρώπως τε καὶ πρᾴως τοῖς ὁμογενέσι συναναστρέφεσθαι, μάλιστα δὲ καὶ τὸ ἐρασμιώτατον καὶ μακαριώτατον, πρὸς τὴν θείαν ἐστὶν ἀναχθῆναι διὰ τῆς τοιαύτης πράξεως μίμησίν τε καὶ ἀγαθότητα, καὶ υἱὸν Θεοῦ κατὰ χάριν καὶ χρηματίσαι καὶ ἐπιγνωσθῆναι 11), ὡς ἡ ἐνυπόστατος ἐβεβαίωσε σοφία καὶ ἀλήθεια· «γίνεσθε γὰρ οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν 12) οἰκτίρμων ἐστί» 13)· σὺ δ', εἰ βούλοι καὶ ἔτι τοῖς νόμοις ἐμφιλοσοφεῖν, τὴν συμφωνίαν αὐτῶν ἐντεῦθεν ἐπόψει. Ὁ μὲν ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ τὸν κριτὴν ἐκκόπτειν ἀξιῶν, φόβῳ δηλονότι τοῦ παθεῖν, ἃ μή ἐστι φυγεῖν, τὴν ἐπ' ἀδίκοις τόλμαν ἀναστέλλει· ἡ δὲ τοῦ μὴ ἀμύνασθαι ἀρετὴ τὸν ἠδικημένον 14), κρείττω περιπαθοῦς διαθέσεως καὶ ἀνθρωπίνης ἀντιλυπήσεως καὶ θαυμάζεσθαι 15) ἀνακηρύττουσα ἄξιον· δι' ἑκατέρου δὲ τρόπου τὴν φιλανθρωπίαν ἐστὶν ὁρᾶν προϊοῦσαν, καὶ καθαρὸν τὸν ἔλεον τὸν 16) ἐπὶ τοῖς ὁμοφύλοις προχεόμενον. Εἰ δὲ δι' ἑκατέρας πράξεως ἡ φιλανθρωπία καὶ ἡμερότης συνίσταται, δῆλον, ὅτι οὐδεμία μάχη 17) ταῖς ἐντολαῖς, οὐδὲ παρὰ θατέρας ἡ τῆς ἑτέρας ἀναίρεσις· πῶς γὰρ ἂν παραπλησίως ἄμφω τὴν τῶν ἀνθρώπων σωτηρίαν κατεσκεύαζον, ἡ μέν, τῶν ἀδίκους χεῖρας ἐπανατεινόντων τὴν ὁρμὴν ἀνακόπτουσα, ἡ δέ, τὸν ἠδικημένον 18) ὑψηλότερον μικροψυχίας πάσης τιθεῖσα, καὶ οὐκ ἀξιοῦσα δουλεύειν πάθεσιν ὕβρεως, καὶ 19) δεικνῦσα 20), οἷος καθ' οἵου τὴν πληγὴν ἀφῆκεν, καὶ ὡς ὁ παθεῖν ἄξιος τὸν κρείττω πάθους 21) ἐτιμωρήσατο. Καὶ πολλὰ ἄλλα δι' ἀμφοῖν τῶν ἐντολῶν τῶν σωτηριωδῶν καὶ ὠφελίμων εἰς ἓν συντρέχει καὶ συναπαρτίζεται.

---

1) Ἐξόδ. κα, 24: Λευΐτ. κδ, 21. Δευτ. ιθ, 21. – 2) ΚΜ. ἐν δὲ ΑΡ. καὶ Τ. ΒΜ. λείπει τὸ τῷ. – 3) Ματθ. ε, 39. – 4) Ματθ. ε, 17. – 5) Λείπει τὸ μὴ ἐκ τοῦ ΒΜ. – 6) Γε ΒΜ. – 7) Ἴσ. λείπει ὁ μέν. – 8) Λείπει τὸ ἑαυτῷ ἐκ τοῦ ΒΜ. – 9) Τα «καὶ μὴν — διαλῦσαι» λείπουσιν ἐκ τοῦ ΒΜ. 10) Τὸ «καὶ ἄλλο» λείπει ἐκ τοῦ ΒΜ. – 11) Γνωσθῆναι ΒΜ. – 12) Ἡμῶν ΒΜ. – 13) Λουκ. ϛ, 36. – 14) Ἴσ. λείπει τὸ κοσμεῖ ἤ τι ἄλλο τοιοῦτο πρὸς τὴν σύνταξιν ἀναγκαῖον. – 15) Ἡμετ. διόρθ. ἀντὶ τοῦ θαυμάζειν ΑΡ. καὶ ΒΜ. – 16) Ἐν ΒΜ. λείπει τὸ τόν. – 17) Μάχεται ΒΜ. – 18) Ἠδικημένους ΒΜ. – 19) Ὁ ΑΡ. καὶ ὁ ΒΜ μετὰ τὸν καὶ προστιθέασι καὶ ἡ μέν, ἀλλ' ὅτι τοῦτο πλεονάζει, συγχύζον τοῦ λόγου τὴν ἔννοιαν, δείκνυσιν ἥ τε τῆς συντάξεως καὶ αὐτὴ τοῦ νοήματος ἡ ἀκολουθία. – 20) Δεικνύουσα ΒΜ. – 21) Ἐν ΒΜ. λείπει τὸ πάθους.

ΜΖʹ. (ΒΜʹ. μζʹ.).

Τοῦ κυρίου λέγοντος, «ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστέ» 1), ζητοῦμεν τίνα λέγει διάβολον, καὶ τίνα τὸν πατέρα αὐτοῦ 2);

§. αʹ. Διάφορος δόξα τοῖς πρὸ ἡμῶν περὶ τούτου προελήλυθε τοῦ ζητήματος· οἱ μὲν γὰρ λέγουσι πατέρα τοῦ διαβόλου τὸν εἰς ἄκρον κακίας ἐλάσαντα, καὶ τοῦ πονηροῦ ἐν ἑαυτῷ πολυπλασιάσαντα τὰ γεννήματα, καὶ πολλάκις πολλὰς ἀποτεκόντα τοιαύτας πράξεις, οἵας ἂν ὁ πονηρὸς οὐκ ἐτόλμησε πρότερον· εἰ δὲ ταῦτα, οὐδὲν κωλύει καὶ τὸν πατέρα τῷ τόκῳ τῶν ἐξ αὐτοῦ προελθόντων ἐλαττωθέντα, αὐτὸν μὲν τὴν τοῦ υἱοῦ μεταλαβεῖν τάξιν, τὸν δὲ πλεονεκτήσαντα ἐν τῇ κακίᾳ, καὶ τρόπον τινὰ τὸν γεννήσαντα γεγεννηκότα, εἰς τὴν πατρικὴν ἀντιμετελθεῖν σχέσιν. Οἷον ὁ Κάϊν, εἰ βούλει· πολλοὺς γὰρ οὗτος ἅμα διαβόλους τέτοκε, τουτέστι τὰς τοῦ διαβόλου πράξεις συλλαβὼν ἀπεκύησεν, οὔπω πρότερον θάρσος ἐχούσας λύειν τὰς ὠδῖνας, ψεύδει φενακίζειν ἐπιχειρῶν οὐχ ἕτερόν τινα, ἀλλὰ τὸν πάντα καὶ πρὶν γενέσεως ἐπιστάμενον· ἀπάτῃ μετερχόμενος ἀδελφόν· καὶ δόλον κατὰ τῶν φιλτάτων σπλάγχνων ἐντείνων, τῆς στοργῆς τῷ σχήματι καλυπτόμενον· φόνον ἀδελφικῇ δεξιᾷ παλαμώμενος· καὶ τὴν γῆν πρῶτος ἀνθρωπίνῳ καθυβρίζων αἵματι· πληγὴν ἐπάγων τοῖς γεννησαμένοις ἀθεράπευτον, καὶ τοῦ τόκου μισθὸν ἀπαιτῶν 3) τὸ μὴ δευτέροις τόκοις ἐπαγάλλεσθαι· ἀπονοίᾳ καὶ ἀντιλογίᾳ χαλεπωτέρᾳ, τὰ φθάσαντα διελεγχούσῃ 4), καὶ ὅσα ἄλλα τοιαῦτα. Εἰ δὲ καὶ ἐκ τῶν ἐναντίων ἐστὶν ἀναλόγως τὰ ὅμοια συνορᾷν, ὥσπερ ὁ εἰς ἄκρον ἀρετῆς τῇ τοῦ παναγίου πνεύματος 5) ἐπιφοιτήσει καὶ ἐνεργείᾳ διήκων, καὶ πολυπλασιάζων ἐν ἑαυτῷ τὴν χάριν, καὶ πολλοῖς ὠφέλιμος καὶ σωτήριος τῷ τόκῳ γινόμενος, πνεῦμα λέγεται τίκτειν 6) Θεοῦ («διὰ γὰρ τὸν φόβον σου Κύριε ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας σου, ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς» 7), οὕτω δὴ οὕτω καὶ ὁ εἰς ἄκρον κακίας ἐλάσας ἄνθρωπος, τὰ τοῦ πονηροῦ σπέρματα ἐν ἑαυτῷ συλλαβών, καὶ πολυπλασιάσας τὸν τόκον καὶ τὰ τῆς πονηρίας κυήματα, τίκτειν ἂν εἰκότως λέγοιτο τὸν διάβολον, καὶ πατὴρ χρηματίζειν αὐτοῦ. Οἱ δὲ οὐδέτερον μὲν τῶν εἰρημένων ἐγκρίνουσι, τὸν ὄφιν δὲ τοῦ διαβόλου πατέρα κληθῆναι νομίζουσι· διατί; Ὅτι πρῶτον ὁ ὄφις τὴν ἐκείνου διαβολὴν συλλαβών, τῇ γλώττῃ ἀπέτεκε· πρὸ γὰρ τῆς ἀνθρώπου πλάσεως καὶ τῆς τοῦ ὄφεως ὑποστάσεως οὐκ ἦν ὁ ἀποῤῥυεὶς τῆς ἀγγελικῆς εὐγνωμοσύνης καὶ τάξεως τὰ τοῦ διαβόλου πράττων, καίτοι ζητῶν κακὸς εἶναι, καὶ χώραν οὐκ ἔχων παρεισδύσεως· οὐκοῦν τὸ ἑρπετὸν ὁ ὄφις τοὺς διαβόλους ἐγκυμονήσας λογισμούς, καὶ τῇ γλώσσῃ τεκὼν 8), εἰκότως ἂν πατὴρ τοῦ διαβόλου λέγοιτο. Ἀλλὰ ταῦτα μὲν καὶ 9) ἕτερα τοιαῦτα εἰς ἀνάπτυξιν τοῦ ῥητοῦ, τίς τε καλοῖτο διάβολος, καὶ τίς ὁ τούτου πατήρ, ἑτέροις πεφιλοσόφηται. Ἐμοὶ δὲ τὰς εἰρημένας ἐπιλύσεις οὔτε λίαν ἔπεισι θαυμάζειν, οὔτε μὴ 10) φιλολόγων εἶναι πόνους ἀνδρῶν· ὅσοις δὲ τὰ τοιαῦτα μᾶλλον εὐτρέπισται συνορᾷν, δικαιότεροι ἂν εἶεν οὗτοι καὶ τὴν ἀμείνω περὶ αὐτῶν ψῆφον ἐξενεγκεῖν. Ἃ δ' ἂν προσταίη ἐμοί τε, καὶ ἴσως ἑτέρῳ τινί, τὴν τελειότητα ταύτας 11) μὴ καταλαβεῖν, ἐκεῖνα καὶ δὴ τῷ λόγῳ διέξειμι.

§. βʹ. Πρῶτον μὲν οὐδαμοῦ τῆς ἱερᾶς ἡμῶν γραφῆς γέγονα δυνατὸς εὑρεῖν, οὔτε κατὰ τὰ παλαιότερα τῆς νομοθεσίας, οὔτε ἐν οἷς ἡ χάρις τὸ τῆς εὐσεβείας φῶς λαμπρότερον ἤστραψεν, οὐμενοῦν, οὐδαμοῦ πατέρα τινὰ τοῦ διαβόλου λεγόμενον, καί τοι γε πολλαὶ πολλάκις χωρίων περίοδοι τῆς πονηρᾶς ἐκείνης καὶ ἀλιτηρίου μνήμην καταβάλλονται προαιρέσεως· ἀλλὰ σατανᾶν μέν, καὶ διάβολον, καὶ ἀποστάτην, καὶ νοῦν ἀσσύριον, καὶ τῶν παθῶν ἄρχοντα, καὶ τῶν τῆς πονηρίας πνευμάτων ἐξουσιαστήν, καὶ τοιαῦτά τινα τὸν ἀρχέκακον ἐχθρὸν τοῦ γένους ἡμῶν ὀνομαζόμενον ἐκδιδάσκουσι, καὶ υἱὸν ἔσθ' ὅτε διαβόλου μᾶλλον τὸν τὰς μοχθηρὰς αὐτοῦ γονὰς ἐν ἑαυτῷ συλλαβόντα, καὶ τῷ τῆς πλάνης τόκῳ υἱοθετούμενον· ἐξ οὗ καὶ ὁ θεσπέσιος Παῦλος υἱὸν διαβόλου τὸν Ἐλύμαν ἐπωνόμασε 12)· πατέρα δὲ 13) τοῦ διαβόλου ἕτερόν τινα μέχρι νῦν οὐκ ἔχω τέως ἀπισχυρίσασθαι τὴν ἱερὰν ἡμῶν ἐπισταμένην, ἢ ἐπονομάζουσαν Γραφήν. Ἀλλ' ἓν μὲν τοῦτο, τὸ μηδαμοῦ πατέρα τοῦ διαβόλου τῶν τοῦ πνεύματος λογίων τῷ ἰδιώματι μήτε γινώσκεσθαι μήτε ὀνομάζεσθαι. Δεύτερον δέ, οὐδ' ἔνθα δοκοῦσι μνήμην αὐτοῦ γεγενῆσθαι, οὐδ' ἐνταῦθα παρασχεῖν τὴν ὑπόληψιν ἀσφαλῆ δύνανται· καὶ γὰρ ὁ τῶν Ἰουδαίων δῆμος οὐκ εἰς πατέρα τοῦ Θεοῦ ἀναφέρειν, οὐδαμοῦ διετείνετο ἑαυτόν, ἀλλὰ τὸν Θεὸν μὲν ἐσπούδαζον

---

1) Ἰωάν. η, 44. Ἐν ταῖς κοιναῖς ἐκδόσεσι γράφεται χωρὶς τοῦ ἄρθρου, «ὑμεῖς ἐκ πατρὸς τοῦ διαβόλου ἐστέ,» ὃ καὶ σαφὲς καὶ σύμφωνον τῷ νοήματι· ἄλλοι δὲ κώδηκες ἀρχαῖοι εἶχον καὶ τὸ «τοῦ» (βλ. Griesbachij Nov. Testam. T. 1. p. 484). Οὕτω κεῖται καὶ παρὰ Χρυσοστόμῳ καὶ Εὐθυμ. Ζιγαβηνῷ, ὅστις καὶ ἐξηγεῖ «ὑμεῖς ἐκ τοῦ πατρὸς ἐκείνου ἐστέ, τοῦ διαβόλου.» – 2) Βλ. Ζήτημα α, καὶ σλη. – 3) Ἀπαιτεῖν ΒΜ. – 4) Ἡμ. διόρθ. ἀντὶ τοῦ διελέγχουσα ΑΡ. καὶ ΒΜ. – 5) Πάντως ΒΜ. – 6) Τικτὸν ΒΜ. – 7) Ἡσ. κϛ, 18. ἐν δὲ ΒΜ. ἐκυήσαμεν – 8) Λείπει τὸ τεκὼν ἐκ τοῦ ΒΜ. – 9) Λείπει ὁ καὶ ἐκ τοῦ ΒΜ. – 10) Μὴν ΒΜ. – 11) Ταύτης ΒΜ. – 12) Πράξ. ιγ, 10. – 13) Ἐν ΜΒ. λείπειὁ δέ.